# Pýthagorejci

## *Akúsmata, Symbola*

Testimonia DK 58 C

58 **C 1** = Aristotelés, Analytica posteriora II, 11; 94b33
καὶ εἰ [βροντᾶι], ὡς οἱ Πυθαγόρειοί φασιν, ἀπειλῆς ἕνεκα τοῖς ἐν τῶι Ταρτάρωι, ὅπως φοβῶνται.

58 **C 2** /1 = Porfyrios, Vita Pythagorae 41
ἔλεγε δέ τινα καὶ μυστικῶι τρόπωι συμβολικῶς, ἃ δὴ ἐπὶ πλέον Ἀριστοτέλης (fr. 196 Rose) ἀνέγραψεν, οἷον ὅτι τὴν θάλατταν μὲν ἐκάλει εἶναι δάκρυον, τὰς δὲ ἄρκτους Ῥέας χεῖρας, τὴν δὲ Πλειάδα Μουσῶν λύραν, τοὺς δὲ πλανήτας κύνας τῆς Περσεφόνης, τὸν δ᾽ ἐκ χαλκοῦ κρουομένου γινόμενον ἦχον φωνὴν εἶναί τινος τῶν δαιμόνων ἐναπειλημμένην τῶι χαλκῶι.

58 **C 2** /2 = Ailiános Klaudios, Varia historia IV, 17
ἔλεγε δὲ ἱερώτατον εἶναι τὸ τῆς μαλάχης φύλλον. ἔλεγε δὲ ὅτι πάντων σοφώτατον ὁ ἀριθμός, δεύτερος δὲ ὁ τοῖς πράγμασι τὰ ὀνόματα θέμενος. καὶ τὸν σεισμὸν ἐγενεαλόγει οὐδὲν ἄλλο εἶναι ἢ [σύνοδον τῶν τεθνεώτων], ἡ δὲ ἶρις ἔφασκεν ὡς [αὐγὴ τοῦ ἡλίου] ἐστὶ καὶ ὁ πολλάκις ἐμπίπτων τοῖς ὠσὶν ἦχος [φωνὴ τῶν κρειττόνων].

58 **C 3** = Diogenés Laertios, Vitae philosophorum VIII, 34-36
φησὶ δ᾽ Ἀριστοτέλης (fr. 195 Rose) ἐν τῶι περὶ τῶν Πυθαγορείων παραγγέλλειν αὐτὸν ἀπέχεσθαι τῶν κυάμων ἤτοι ὅτι αἰδοίοις εἰσὶν ὅμοιοι ἢ ὅτι Ἅιδου πύλαις. *** ἀγόνατον γὰρ μόνον· ἢ ὅτι φθείρει ἢ ὅτι τῆι τοῦ ὅλου φύσει ὅμοιον· ἢ ὅτι ὀλιγαρχικόν· κληροῦνται γοῦν αὐτοῖς. τὰ δὲ πεσόντα μὴ ἀναιρεῖσθαι, ὑπὲρ τοῦ ἐθίζεσθαι μὴ ἀκολάστως ἐσθίειν ἢ ὅτι ἐπὶ τελευτῆι τινος· καὶ Ἀριστοφάνης δὲ τῶν ἡρώων φησὶν εἶναι τὰ πίπτοντα, λέγων ἐν τοῖς Ἥρωσι (fr. 305 K.)

μηδὲ γεύεσθ᾽ ἄττ᾽ ἂν ἐντὸς τῆς τραπέζης καταπέσηι.

ἀλεκτρυόνος μὴ ἅπτεσθαι λευκοῦ, ὅτι ἱερὸς τοῦ Μηνὸς καὶ ἱκέτης· τὸ δ᾽ ἦν τῶν ἀγαθῶν· τῶι τε Μηνὶ ἱερός· σημαίνει γὰρ τὰς ὥρας, καὶ τὸ μὲν λευκὸν τῆς τἀγαθοῦ φύσεως, τὸ δὲ μέλαν τοῦ κακοῦ. τῶν ἰχθύων μὴ ἅπτεσθαι, ὅσοι ἱεροί· μὴ γὰρ δεῖν τὰ αὐτὰ τετάχθαι θεοῖς καὶ ἀνθρώποις, ὥσπερ οὐδ᾽ ἐλευθέροις καὶ δούλοις. (35) ἄρτον μὴ καταγνύειν, ὅτι ἐπὶ ἕνα [ἄρτον] οἱ πάλαι τῶν φίλων ἐφοίτων, καθάπερ ἔτι καὶ νῦν οἱ βάρβαροι· μηδὲ διαιρεῖν, ὃς συνάγει αὐτούς· οἱ δὲ πρὸς τὴν

ἐν ἅιδου κρίσιν, οἱ δ᾽ εἰς πόλεμον δειλίαν ποιεῖν· οἱ δέ, ἐπεὶ ἀπὸ τούτου ἄρχεται τὸ ὅλον. (καὶ τῶν σχημάτων τὸ κάλλιστον σφαῖραν εἶναι τῶν στερεῶν, τῶν δ᾽ ἐπιπέδων κύκλον. γῆρας καὶ πᾶν τὸ μειούμενον ὅμοιον· καὶ αὔξην καὶ νεότητα ταὐτόν. ὑγίειαν τὴν τοῦ εἴδους διαμονήν, νόσον τὴν τούτου φθοράν.) περὶ τῶν ἁλῶν, ὅτι δεῖ παρατίθεσθαι πρὸς ὑπόμνησιν τοῦ δικαίου· οἱ γὰρ ἅλες πᾶν σώιζουσιν ὅ τι ἂν παραλάβωσι, καὶ γεγόνασιν ἐκ τῶν καθαρωτάτων, ἡλίου καὶ θαλάσσης. (36) καὶ ταῦτα μέν φησιν ὁ ᾿Αλέξανδρος ἐν τοῖς Πυθαγορικοῖς ὑπομνήμασιν (fr. 140; FHG III, 242) εὑρηκέναι καὶ τὰ ἐκείνων ἐχόμενα ὁ ᾿Αριστοτέλης.

58 **C 4** = Iamblichos, De vita Pythagorica 82-86

ἔστι δὲ ἡ μὲν τῶν ἀκουσματικῶν φιλοσοφία ᾿Ακούσματα ἀναπόδεικτα καὶ ἄνευ λόγου, ὅτι οὕτως πρακτέον, καὶ τἆλλα, ὅσα παρ᾽ ἐκείνου ἐρρέθη, ταῦτα πειρῶνται διαφυλάττειν ὡς θεῖα δόγματα, αὐτοὶ δὲ παρ᾽ αὑτῶν οὔτε λέγειν προσποιοῦνται οὔτε λεκτέον εἶναι, ἀλλὰ καὶ αὑτῶν ὑπολαμβάνουσι τούτους ἔχειν βέλτιστα πρὸς φρόνησιν, οἵτινες πλεῖστα ᾿Ακούσματα ἔσχον. πάντα δὲ τὰ οὕτως [καλούμενα] ᾿Ακούσματα διῄρηται εἰς τρία εἴδη· τὰ μὲν γὰρ αὐτῶν τί ἐστι σημαίνει, τὰ δὲ τί μάλιστα, τὰ δὲ τί δεῖ πράττειν ἢ μὴ πράττειν. τὰ μὲν οὖν τί ἐστι τοιαῦτα, οἷον

τί ἐστιν αἱ μακάρων νῆσοι; ἥλιος καὶ σελήνη.
τί ἐστι τὸ ἐν Δελφοῖς μαντεῖον; τετρακτύς·
ὅπερ ἐστὶν ἡ ἁρμονία, ἐν ἧι αἱ Σειρῆνες.

τὰ δὲ τί μάλιστα, οἷον

τί τὸ δικαιότατον; θύειν.
τί τὸ σοφώτατον; ἀριθμός, δεύτερον δὲ ὁ τοῖς πράγμασι τὰ ὀνόματα θέμενος.
τί σοφώτατον τῶν παρ᾽ ἡμῖν; ἰατρική.
τί κάλλιστον; ἁρμονία.
τί κράτιστον; γνώμη.
τί ἄριστον; εὐδαιμονία.
τί δὲ ἀληθέστατον λέγεται; ὅτι πονηροὶ οἱ ἄνθρωποι.

διὸ καὶ ποιητὴν ῾Ιπποδάμαντά φασιν ἐπαινέσαι αὐτὸν τὸν Σαλαμίνιον, ὃς ἐποίησεν·

ὦ θεῖοι, πόθεν ἐστέ, πόθεν τοιοίδ᾽ ἐγένεσθε;
ἄνθρωποι, πόθεν ἐστέ, πόθεν κακοὶ ὧδ᾽ ἐγένεσθε;

(83) ταῦτα καὶ τοιαῦτά ἐστι τὰ τούτου τοῦ γένους ᾿Ακούσματα· ἕκαστον γὰρ τῶν τοιούτων μάλιστά τί ἐστιν. ἔστι δ᾽ αὕτη ἡ αὐτὴ τῆι τῶν ἑπτὰ σοφιστῶν λεγομένηι σοφίαι. καὶ γὰρ ἐκεῖνοι ἐζήτουν οὐ τί ἐστι τἀγαθόν, ἀλλὰ τί μάλιστα; οὐδὲ τί τὸ

χαλεπόν, ἀλλὰ τί τὸ χαλεπώτατον; ὅτι τὸ αὑτὸν γνῶναί ἐστιν· οὐδὲ τί τὸ ῥάιδιον, ἀλλὰ τί τὸ ῥᾶιστον; ὅτι τὸ ἔθει χρῆσθαι. τῆι τοιαύτηι γὰρ σοφίαι μετηκολουθηκέναι ἔοικε τὰ τοιαῦτα ἀκούσματα· πρότεροι γὰρ οὗτοι Πυθαγόρου ἐγένοντο. τὰ δὲ τί πρακτέον ἢ οὐ πρακτέον τῶν ᾿Ακουσμάτων τοιαῦτά ἐστιν, οἷον ὅτι

δεῖ τεκνοποιεῖσθαι· δεῖ γὰρ ἀντικαταλιπεῖν τοὺς θεραπεύοντας τὸν θεόν·

ἢ ὅτι

δεῖ τὸν δεξιὸν ὑποδεῖσθαι πρότερον,

ἢ ὅτι

οὐ δεῖ τὰς λεωφόρους βαδίζειν ὁδούς, οὐδὲ εἰς περιρραντήριον ἐμβάπτειν, οὐδὲ ἐν βαλανείωι λούεσθαι. ἄδηλον γὰρ ἐν πᾶσι τούτοις, εἰ καθαρεύουσιν οἱ κοινωνοῦντες. (84) καὶ ἄλλα τάδε. φορτίον μὴ συγκαθαιρεῖν· οὐ γὰρ δεῖ αἴτιον γίνεσθαι τοῦ μὴ πονεῖν· συνανατιθέναι δέ. χρυσὸν ἐχούσηι μὴ πλησιάζειν ἐπὶ τεκνοποιίαι. μὴ λέγειν ἄνευ φωτός. σπένδειν τοῖς θεοῖς κατὰ τὸ οὖς τῆς κύλικος οἰωνοῦ ἕνεκεν καὶ ὅπως μὴ ἀπὸ τοῦ αὐτοῦ πίνηται. ἐν δακτυλίωι μὴ φέρειν σημεῖον θεοῦ εἰκόνα, ὅπως μὴ μιαίνηται· ἄγαλμα γάρ, ὅπερ δεῖ φρουρῆσαι ἐν τῶι οἴκωι. γυναῖκα οὐ δεῖ διώκειν τὴν αὑτοῦ, ἱκέτις γάρ· διὸ καὶ ἀφ᾿ ἑστίας ἀγόμεθα, καὶ ἡ λῆψις διὰ δεξιᾶς. μηδὲ ἀλεκτρυόνα λευκὸν [θύειν]· ἱκέτης γὰρ [καὶ] ἱερὸς τοῦ Μηνός· διὸ καὶ σημαίνουσιν ὥραν. (85) καὶ συμβουλεύειν μηδὲν παρὰ τὸ βέλτιστον τῶι συμβουλευομένωι· ἱερὸν γὰρ συμβουλή. ἀγαθὸν οἱ πόνοι, αἱ δὲ ἡδοναὶ ἐκ παντὸς τρόπου κακόν· ἐπὶ κολάσει γὰρ ἐλθόντας δεῖ κολασθῆναι. θύειν χρὴ ἀνυπόδητον καὶ πρὸς τὰ ἱερὰ προσιέναι. εἰς ἱερὸν οὐ δεῖ ἐκτρέπεσθαι· οὐ γὰρ πάρεργον δεῖ ποιεῖσθαι τὸν θεόν. ὑπομένοντα καὶ ἔχοντα τραύματα ἐν τῶι ἔμπροσθεν τελευτῆσαι ἀγαθόν, ἐναντίως δὲ ἐναντίον. εἰς μόνα τῶν ζώιων οὐκ εἰσέρχεται ἀνθρώπου ψυχή, οἷς θέμις ἐστὶ τυθῆναι· διὰ τοῦτο τῶν θυσίμων χρὴ ἐσθίειν μόνον (οἷς ἂν τὸ ἐσθίειν καθήκηι), ἄλλου δὲ μηδενὸς ζώιου. τὰ μὲν οὖν τοιαῦτα τῶν ᾿Ακουσμάτων ἐστί, τὰ δὲ πλεῖστον ἔχοντα μῆκος περί τε θυσίας, καθ᾿ ἑκάστους τοὺς καιροὺς πῶς χρὴ ποιεῖσθαι, τάς τε ἄλλας *** καὶ περὶ μετοικήσεως τῆς ἐντεῦθεν, καὶ περὶ τὰς ταφὰς πῶς δεῖ καταθάπτεσθαι. (86) ἐπ᾿ ἐνίων μὲν οὖν ἐπιλέγεται [τὸ διὰ] τί δεῖ, οἷον ὅτι δεῖ τεκνοποιεῖσθαι ἕνεκα τοῦ καταλιπεῖν ἕτερον ἀνθ᾿ ἑαυτοῦ θεῶν θεραπευτήν· τοῖς δὲ οὐδεὶς λόγος πρόσεστι. καὶ ἔνια μὲν τῶν ἐπιλεγομένων δόξει προσπεφυκέναι ἀπαρτί, ἔνια δὲ πόρρω, οἷον περὶ τοῦ τὸν ἄρτον μὴ καταγνύναι, ὅτι πρὸς τὴν ἐν ἅιδου κρίσιν οὐ συμφέρει. αἱ δὲ προστιθέμεναι εἰκοτολογίαι περὶ τῶν τοιούτων οὐκ εἰσὶ Πυθαγορικαί, ἀλλ᾿ ἐνίων ἔξωθεν ἐπισοφιζομένων καὶ πειρωμένων προσάπτειν εἰκότα λόγον, οἷον καὶ περὶ τοῦ νῦν λεχθέντος, διὰ τί οὐ δεῖ καταγνύναι τὸν ἄρτον. οἱ μὲν γάρ φασιν, ὅτι οὐ δεῖ τὸν συνάγοντα διαλύειν· τὸ γὰρ ἀρχαῖον

βαρβαρικῶς πάντες ἐπὶ ἕνα ἄρτον συνήιεσαν οἱ φίλοι· οἱ δ᾽ ὅτι οὐ δεῖ οἰωνὸν ποιεῖσθαι τοιοῦτον ἀρχόμενον καταγνύντα καὶ συντρίβοντα.

58 **C 5** = Pseudo-Aristotelés, Oeconomica I, 4; 1344a8
πρῶτον μὲν οὖν νόμοι πρὸς γυναῖκα καὶ τὸ μὴ ἀδικεῖν· οὕτως γὰρ ἂν οὐδ᾽ αὐτὸς ἀδικοῖτο. τοῦθ᾽ ὑφηγεῖται δὲ (ὃ) καὶ ὁ κοινὸς νόμος, καθάπερ οἱ Πυθαγόρειοι λέγουσιν, ὥσπερ ἱκέτιν καὶ ἀφ᾽ ἑστίας ἠγμένην ὡς ἥκιστα δεῖν (δοκεῖν) ἀδικεῖν.

58 **C 6** /1 = Súda, s.v. ᾽Αναξίμανδρος (β)
᾽Αναξιμάνδρου Μιλήσιος ὁ νεώτερος ἱστορικός· γέγονε δὲ κατὰ τοὺς ᾽Αρταξέρξου χρόνους τοῦ Μνήμονος κληθέντος (405/359 BC)· ἔγραψε Συμβόλων Πυθαγορείων ἐξήγησιν, οἷόν ἐστι τὸ ᾽ζυγὸν μὴ ὑπερβαίνειν᾽, ᾽μαχαίραι πῦρ μὴ σκαλεύειν᾽, ᾽ἀπὸ ὁλοκλήρου ἄρτου μὴ ἐσθίειν᾽ ...

58 **C 6** /2 = Diogenés Laertios, Vitae philosophorum II, 2
γέγονε δὲ καὶ ἄλλος ᾽Αναξίμανδρος ἱστορικὸς καὶ αὐτὸς Μιλήσιος τῆι ᾽Ιάδι γεγραφώς.

58 **C 6** /3 = Porfyrios, Vita Pythagorae 42-45
ἦν δὲ καὶ ἄλλο εἶδος τῶν Συμβόλων τοιοῦτον, ᾽ζυγὸν μὴ ὑπερβαίνειν᾽, τουτέστι μὴ πλεονεκτεῖν, ᾽μὴ τὸ πῦρ τῆι μαχαίραι σκαλεύειν᾽, ὅπερ ἦν μὴ τὸν ἀνοιδοῦντα καὶ ὀργιζόμενον κινεῖν λόγοις παρατεθηγμένοις, ᾽στέφανόν τε μὴ τίλλειν᾽, τουτέστι τοὺς νόμους μὴ λυμαίνεσθαι· στέφανοι γὰρ πόλεων οὗτοι. πάλιν δ᾽ αὖ ἕτερα τοιαῦτα ᾽μὴ καρδίαν ἐσθίειν᾽, οἷον μὴ λυπεῖν ἑαυτὸν ἀνίαις, ᾽μηδ᾽ ἐπὶ χοίνικος καθέζεσθαι᾽, οἷον μὴ ἀργὸν ζῆν, ᾽μηδ᾽ ἀποδημοῦντα ἐπιστρέφεσθαι᾽, μὴ ἔχεσθαι τοῦ βίου τούτου ἀποθνήισκοντα, ᾽τάς τε λεωφόρους μὴ βαδίζειν᾽, δι᾽ οὗ ταῖς τῶν πολλῶν ἕπεσθαι γνώμαις ἐκώλυεν, τὰς δὲ τῶν ὀλίγων καὶ πεπαιδευμένων μεταθεῖν, ᾽μηδὲ χελιδόνας ἐν οἰκίαι δέχεσθαι᾽, τουτέστι λάλους ἀνθρώπους καὶ περὶ γλῶτταν ἀκρατεῖς ὁμωροφίους μὴ ποιεῖσθαι, ᾽φορτίον δὲ συνανατιθέναι μὲν τοῖς βαστάζουσιν, συγκαθαιρεῖν δὲ μή᾽, δι᾽ οὗ παρήινει μηδενὶ πρὸς ῥαιστώνην, ἀλλὰ πρὸς ἀρετὴν καὶ πόνους συμπράττειν, ᾽θεῶν τε εἰκόνας ἐν δακτυλίοις μὴ φορεῖν᾽, τουτέστι τὴν περὶ θεῶν δόξαν καὶ λόγον μὴ πρόχειρον μηδὲ φανερὸν ἔχειν, μηδὲ εἰς πολλοὺς προφέρειν, ᾽σπονδάς τε ποιεῖσθαι τοῖς θεοῖς κατὰ τὸ οὖς τῶν ἐκπωμάτων᾽, ἐντεῦθεν γὰρ ἠινίττετο τιμᾶν τοὺς θεοὺς καὶ ὑμνεῖν τῆι μουσικῆι· αὕτη γὰρ διὰ ὤτων χωρεῖ. μηδ᾽ ἐσθίειν ὅσα μὴ θέμις, γένεσιν, αὔξησιν, ἀρχήν, τελευτήν, μηδ᾽ ἐξ ὧν ἡ πρώτη τῶν πάντων ὑπόθεσις γίνεται. (43) ἔλεγε δ᾽ ἀπέχεσθαι τῶν καταθυομένων ὀσφύος καὶ διδύμων καὶ αἰδοίων καὶ μυελοῦ καὶ ποδῶν καὶ κεφαλῆς ... ἴσα δὲ κυάμων

παρῄνει ἀπέχεσθαι καθάπερ ἀνθρωπίνων σαρκῶν ... (45) ἀπέχεσθαι δὲ καὶ ἄλλων παρῄνει οἷον μήτρας τε καὶ τριγλίδος καὶ ἀκαλήφης, σχεδὸν δὲ καὶ τῶν ἄλλων θαλασσίων συμπάντων.

58 **C 6** /4 = Iamblichos, Protrepticus 21 (106, 18 Pist.)
ἔστω δὲ τὰ φρασθησόμενα Σύμβολα ταῦτα·
α. εἰς ἱερὸν ἀπιὼν προσκυνῆσαι, μηδὲν ἄλλο μεταξὺ βιωτικὸν μήτε λέγε μήτε πρᾶττε.
β. ὁδοῦ πάρεργον οὔτε εἰσιτέον εἰς ἱερὸν οὔτε προσκυνητέον τὸ παράπαν, οὐδ᾽ εἰ πρὸς ταῖς θύραις αὐταῖς παριὼν γένοιο.
γ. ἀνυπόδητος θῦε καὶ προσκύνει.
δ. τὰς λεωφόρους ὁδοὺς ἐκκλίνων διὰ τῶν ἀτραπῶν βάδιζε.
ε. μελανούρου ἀπέχου· χθονίων γάρ ἐστι θεῶν.
ς. γλώσσης πρὸ τῶν ἄλλων κράτει θεοῖς ἑπόμενος.
ζ. ἀνέμων πνεόντων τὴν Ἠχὼ προσκύνει.
η. πῦρ μαχαίρηι μὴ σκάλευε.
θ. ὀξίδα ἀπὸ σεαυτοῦ ἀπόστρεφε πᾶσαν.
ι. ἀνδρὶ ἐπανατιθεμένωι μὲν φορτίον συνέπαιρε, μὴ συγκαθαίρει δὲ ἀποτιθεμένωι.
ια. εἰς μὲν ὑπόδησιν τὸν δεξιὸν πόδα προπάρεχε, εἰς δὲ ποδόνιπτρον τὸν εὐώνυμον.
ιβ. περὶ Πυθαγορείων ἄνευ φωτὸς μὴ λάλει.
ιγ. ζυγὸν μὴ ὑπέρβαινε.
ιδ. ἀποδημῶν τῆς οἰκείας μὴ ἐπιστρέφου, Ἐρινύες γὰρ μετέρχονται.
ιε. πρὸς ἥλιον τετραμμένος μὴ οὔρει.
ις. δαιδίωι θᾶκον μὴ ἀπόμασσε.
ιζ. ἀλεκτρυόνα τρέφε μέν, μὴ θῦε δέ. Μηνὶ γὰρ καὶ Ἡλίωι καθιέρωται.
ιη. ἐπὶ χοίνικι μὴ καθέζου.
ιθ. γαμψώνυχον μηδὲν παράτρεφε.
κ. ἐν ὁδῶι μὴ σχίζε.
κα. χελιδόνα οἰκίαι μὴ δέχου.
κβ. δακτύλιον μὴ φόρει.
κγ. θεοῦ τύπον μὴ ἐπίγλυφε δακτυλίωι.
κδ. παρὰ λύχνον μὴ ἐσοπτρίζου.
κε. περὶ θεῶν μηθὲν θαυμαστὸν ἀπίστει μηδὲ περὶ θείων δογμάτων.
κς. ἀσχέτωι γέλωτι μὴ ἔχεσθαι.
κζ. παρὰ θυσίαι μὴ ὀνυχίζου.
κη. δεξιὰν μὴ παντὶ ῥαιδίως ἔμβαλλε.

κθ. στρωμάτων ἀναστὰς συνέλισσε αὐτὰ καὶ τὸν τόπον συνστόρνυε.

λ. καρδίαν μὴ τρῶγε.

λα. ἐγκέφαλον μὴ ἔσθιε.

λβ. ἀποκαρμάτων σῶν καὶ ἀπονυχισμάτων κατάπτυε.

λγ. ἐρυθῖνον μὴ προσλαμβάνου.

λδ. χύτρας ἴχνος ἀπὸ σποδοῦ ἀφάνιζε.

λε. χρυσὸν ἐχούσηι μὴ πλησίαζε ἐπὶ τεκνοποιίαι.

λς. προτίμα τὸ σχῆμα καὶ βῆμα τοῦ ʾσχῆμα καὶ τριώβολονʾ.

λζ. κυάμων ἀπέχου.

λη. μολόχην ἐπιφύτευε μέν, μὴ ἔσθιε δέ.

λθ. ἐμψύχων ἀπέχου.